Ακαδημία Αθηνών / Academy of Athens

Legrand, Zygomalas, σελ. 86-90.

Διονύσιος Β΄

(οἰκουμ. Πατριάρχης) 16ος.

Ὑπό Legrand δημοσιεύεται ἐκ τοῦ Cod. Tybingensis Mb 37, fol. 28-31 συνοδική πρᾶξις κατά τοῦ οἰκουμ. πατριάρχου Διονυσίου Β΄ (Νοέμβρ. 1547), ὡς ἀντικανονικῶς εἰς τόν θρόνον τῆς Κωνσταντινουπόλεως ἀνελθόντος, μετά τόν θάνατον τοῦ Ἱερεμίου, καί ἀναξίους εἰς τόν βαθμόν τῆς ἀρχιερωσύνης εἰσαγαγόντος: «... ὁ χρηματίσας μητροπολίτης Νικομηδείας... πνεύματι φιλαρχίας κάτοχος ὤν, ἠθέτησε μὲν τὸν συνοδικῶς γεγονότα κανόνα παρά τε τοῦ τηνικαῦτα τῇ Κωνσταντινουπόλει ἐνδημοῦντος τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων καί τῶν πανιερωτάτων ἀρχιερέων, ὧν εἷς καί αὐτός ἐτύγχανε συνιδουκῶν ὁλοψύχως γινέσθαι αὐτόν· ἐν ᾧ ... διωρίσαντο ἅπαξάπαντες αὐτοί ... ἵνα ὁ ἐξ αὐτῶν τῶν ἀρχιερέων τολμήσων

./.

Ακαδημία Αθηνών / Academy of Athens

λῃστρικῶς τε καὶ ἐπιβατικῶς τὸν πατριαρχικὸν θρόνον λαβεῖν ἢ διὰ χρημάτων ἢ δι᾽ ἀρχόντων ἢ ἄλλων, ὑπάρχῃ ὁ τοιοῦτος αὐτοκαθαίρετος καὶ γεγυμνωμένος πάσης ἀρχιερωσύνης καὶ θείας χάριτος καὶ ὑπόδικος τῷ ἀναθέματι... καὶ ἠθέτησε μὲν τὸν τοιοῦτον ὅρον καὶ τὴν οἰκειόχειρον ἐν αὐτῷ καὶ ἐθελούσιον ὑπογραφὴν ὁ ῥηθεὶς Διονύσιος καὶ μηδόλως τὴν ἱερὰν τῶν ἀρχιερέων προσμείνας γενέσθαι συνάθροισίν τε καὶ τελείαν σύνοδον..... χρήμασί τε καὶ δωρεαῖς τὸν δημώδη ὑποφθείρας λαὸν καὶ ἐξαπατήσας, αὐθωρεὶ τὴν καθολικὴν ἐκκλησίαν κατήρπασε βιαίως καὶ τυραννικῶς, ἢ μᾶλλον εἰπεῖν λῃστρικῶς καὶ ἐπιβατικῶς..... Αὖθις δὲ τῆς ἀρχιερωσύνης καὶ ἱερωσύνης εἰσήγαγε. Καί, ζῶντος τοῦ ἀρχιερέως Πισσιδείας, χωρὶς παραιτήσεως, ἕτερόν τινα ἀνάξιον χειροτονήσας, ἐξαπέστειλε».

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Legrand, Zygomalas, σελ. 86-90

Διονύσιος Β΄

(οἰκουμ. Πατριάρχης) ἰδαί.

Διὰ τῆς αὐτῆς πράξεως κατηγορεῖται ὁ Διονύσιος ὅτι «...παμμιαρόν τινα καὶ ἀνόσιον μητροπολίτην Καισαρείας δῆθεν κεχειροτονηκώς, εἰς τὰ ἑσπέρια μέρη τοῖς Λατίνοις λεγᾶτον αὐτὸν καὶ ἐπίτροπον ἐξαπέστειλε, γράμμασιν αὐτὸν καὶ ἱεροῖς λειψάνοις καὶ ἄλλοις δωρήμασι καθοπλίσας μεγάλοις· ὡς γε δὴ ἐκεῖσε γεγονὼς καὶ ταῖς λατινικαῖς ὑποκύψας ἐγγράφως τε καὶ ἀγράφως αἱρέσεσι, καὶ ὡς εἷς ἐξ αὐτῶν γενόμενος, παντοίαν ἄδειαν εἰληφώς, λειτουργίας καὶ χειροτονίας ἔν τε τῇ Βενετίᾳ καὶ τῇ Ἀγκῶνι καὶ ἀλλαχοῦ ἐκτετέλεκε· καί, μέχρι Ρώμης παραγενόμενος, τῷ ἀνοσίῳ καὶ αἱρεσιάρχῃ καὶ πάπᾳ τῶν Λατίνων ἥνωται, καὶ τὴν καθολικὴν τῶν

./.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ὀρθοδόξων ἐκκλησίαν, ὡς λεγᾶτος δῆθεν τῶν Κωνσταντινουπόλεως, ἥνωσεν αὐτοῖς, ὡς εἶχε πάντως ἀπ' αὐτοῦ τὴν ἀνάθεσιν, ὑποσχεθεὶς ὅτι μάλιστα καὶ τὰς ἀνατολικὰς καὶ πατριαρχικὰς ἐκκλησίας ὀρθοδόξους οὔσας ἑνῶσαι ταχέως, ὡς τὰ προνοίᾳ θεοῦ ἐμφανισθέντα ἡμῖν αὐτοῦ γράμματα διαγορεύουσιν. Ἔτι τε καὶ εἰς τοὺς ἀνοσίους καὶ ἀνιέρους καὶ σχισματικοὺς καὶ λατινόφρονας ἐπισκόπους τῶν Κυπρίων τὸν μητροπολίτην Ῥόδου ἐξαποστείλας, διὰ γραμμάτων καὶ δι' ἐκείνου τὴν ὀρθόδοξον καὶ καθολικὴν ἐκκλησίαν αὐτοῖς ἑνῶσαι προήρηται, οὖσιν ἀπεσχισμένοις κανονικῶς ὑπ' αὐτῆς τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, διὰ τὰ αὐτῶν ἐξάγιστα ἀτοπήματα ...»

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ